Κεφάλαιον ς.

Οὐδαμόθεν δὲ συμβαίνει ἐξ ὧν εἴρηκεν, μηδὲν εἶναι. ἃ γὰρ ἀποδείκνυσιν, οὕτως διαλέγεται. εἰ τὸ μὴ ὂν ἐστὶν ἢ ἔστιν, ἁπλῶς εἰπεῖν εἴη, καὶ ἔστιν ὅμοιον μὴ ὄν. τοῦτο δὲ οὔτε φαίνεται οὕτως, οὔτε ἀνάγκη, ἀλλ' ὡς περὶ δυοῖν, ὄντος, τοῦ δ' οὐκ ὄντος, τὸ μὲν ἐστι, τὸ δ' οὐκ ἀληθὲς, ὅτι ἐστὶ τὸ μὲν μὴ ὄν. διότι οὖν οὐκ ἔστιν, οὔτε εἶναι, οὔτε μὴ εἶναι τὰ ἄμφω, οὐδ' ἕτερον οὐκ ἔστιν. οὐδὲν γάρ φησιν εἴη ἂν τὸ μὴ εἶναι, τοῦ εἶναι, εἴπερ εἴη τι καὶ τὸ μὴ εἶναι. οὐδεὶς φησὶν εἶναι τὸ μὴ εἶναι οὐδαμῶς. εἰ δὲ καὶ ἔστι τὸ μὴ ὂν, μὴ ὂν, οὐδ' οὕτως ὁμοίως εἴη ἂν τὸ μὴ ὂν, τῷ ὄντι. τὸ μὲν γάρ ἐστι μὴ ὂν, τὸ δὲ καὶ ἔστιν. ἔτι εἰ δεῖ καὶ ἁπλῶς εἰπεῖν ἀληθὲς, ὡς δὴ θαυμάσιόν τ' ἂν εἴη, τὸ μὴ ὂν ἐστίν. ἀλλ' εἰ δὴ οὕτω, πότερον μᾶλλον ξυμβαίνει τὰ πάντα εἶναι ἢ μὴ εἶναι; αὐτὸ γὰρ οὕτω γε τοὐναντίον ἔοικε γίνεσθαι. εἰ γὰρ τό τε μὴ ὂν ἐστὶ, καὶ τὸ ὂν, ὂν ἐστὶν, ἅπαντά ἐστι. καὶ γὰρ τὰ ὄντα, καὶ τὰ μὴ ὄντα ἐστίν. οὐκ ἀνάγκη γὰρ, εἰ τὸ μὴ ὂν ἐστὶ, καὶ τὸ ὂν μὴ εἶναι. εἰ δὴ καὶ οὕτω τις ξυγχωρεῖ, καὶ τὸ μὲν μὴ ὂν εἴη, τὸ δὲ ὂν μὴ εἴη, ὅμως οὐδὲν ἧττον εἴη ἄν. τὰ γὰρ μὴ ὄντα, εἴη κατὰ τὸν ἐκείνου λόγον. εἰ δὲ ταὐτόν ἐστι καὶ τὸ εἶναι, καὶ τὸ μὴ εἶναι, οὐδ' οὕτως μᾶλλον οὐκ εἴη, ἄν τι εἴη. ὡς γὰρ κἀκεῖνος λέγει, ὅτι εἰ ταὐτὸν μὴ ὂν, καὶ ὂν, τό τε ὂν οὐκ ἔστι, καὶ τὸ μὴ ὄν. ὥστε οὐδέν ἐστιν ἀντιστρέψαντι, ἔστιν ὁμοίως φάναι, ὅτι πάντα ἐστί. τό τε γὰρ μὴ ὂν ἐστὶ, καὶ τὸ ὄν. ὥστε πάντα ἐστί. μετὰ δὲ τοῦτον τὸν λόγον φησίν· εἰ δέ ἐστιν, ἤτοι ἀγένητον, ἢ μὴ γενόμενον εἶναι. καὶ εἰ μὲν ἀγένητον, ἄπειρον αὐτὸ τοῖς τοῦ Μελίσσου ἀξιώμασι λαμβάνει. τὸ δὲ ἄπειρον, οὐκ ἂν εἶναί ποτε. οὔτε γὰρ ἐν αὐτῷ, οὔτ' ἂν ἐν ἄλλῳ εἶναι. δύο γὰρ ἂν οὕτως ἢ πλείω εἶναι, τό τε ἐν ὂν, καὶ τὸ ἐν ᾧ, μηδαμοῦ δ' ὂν οὐδὲ εἶναι κατὰ τὸν Ζήνωνος λόγον περὶ τῆς χώρας. ἀγένητον μὲν οὖν διὰ ταῦτ' οὐκ εἶναι, οὐ μὴν οὐδὲ γενόμενον. γενέσθαι γοῦν οὐδὲν ἂν οὔτ' ἐξ ὄντος, οὔτ' ἐκ μὴ ὄντος. εἰ γὰρ τὸ ὂν μεταπέσοι, οὐκ ἂν ἔτ' εἶναι τὸ ὂν, ὥσπερ γ' εἰ καὶ τὸ μὴ ὂν γένοιτο, οὐκ ἂν ἔτι εἴη μὴ ὄν. οὐδὲ μὴν οὐδ' ἐξ ὄντος ἂν γενέσθαι. εἰ μὲν γὰρ μή ἐστι τὸ μὴ ὂν, οὐδὲν ἂν ἐκ μηδενὸς ἂν γενέσθαι. εἰ δ' ἔστι τὸ μὴ ὂν, διόπερ οὐδ' ἐκ τοῦ ὄντος, διὰ ταῦτα οὐδ' ἐκ τοῦ μὴ ὄντος γενέσθαι. εἰ οὖν ἀνάγκη μὲν, εἴπερ ἐστί τι, ἢ τὸ ἀγένητον εἶναι ἢ γενόμενον. ταῦτα δὲ ἀδύνατον τι καὶ εἶναι. ἔτι εἴπερ ἐστὶν ἓν ἢ πλείω φησίν ἐστιν, εἴτε μὴ ἕν, μήτε πολλὰ, οὐδὲν ἂν εἴη· καὶ ἓν μὲν  καὶ ὅτι ἀσώματον ἂν εἴη τὸ ἓν  η  ἐνεχόμενα γε τῷ τοῦ Ζήνωνος λόγου· ἑνὸς δὲ ὄντος, οὐδ' ἂν εἶναι οὐδὲ μὴν, μήτε πολλὰ  εἰ γὰρ μήτε ἓν, μήτε πολλά ἐστιν, οὐδ' ἂν κινηθῆναί φησιν. οὐδὲ ἓν γὰρ κινηθείη, ἢ οὐκ ἂν ἔτι, ἢ ὡσαύτως ἔχον, ἀλλὰ τὸ μὲν οὐκ ἂν εἴη, τὸ δ' οὐκ ὂν γεγονὸς εἴη. ἔτι δὲ ἢ κινεῖται, καὶ εἰ μεταφέρεται οὐ συνεχὲς ὂν, διῄρηται τὸ ὂν, οὔτέ τι ταύτῃ· ὥστε πάντῃ κινεῖται, πάντῃ διῄρηται. εἰ δ' οὕτως, πάντα οὐκ ἔστιν. ἐκλιπὲς γὰρ ταύτῃ φησὶν, ᾗ διῄρηται τοῦ ὄντος· ἀντὶ τοῦ κενοῦ τὸ διῃρῆσθαι λέγων, καθάπερ ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις γέγραπται. εἰ μὲν οὖν οὐδὲν, τὰς ἀποδείξεις λέγει ἅπαντα. δεῖ γὰρ τὰ φρονούμενα εἶναι, καὶ τὸ μὴ ὂν, εἴπερ μή ἐστι, μηδὲ φρονεῖσθαι. εἰ δ' οὕτως, οὐδὲν ἂν εἶναι ψεῦδος οὐδείς φησιν, οὐδ' εἰ ἐν τῷ πελάγει φαίη ἁμιλλᾶσθαι ἅρματα. πάντα γὰρ ἂν ταῦτα εἴη. καὶ γὰρ τὰ ὁρώμενα καὶ ἀκουόμενα διὰ τοῦτο ἔστιν, ὅτι φρονεῖται ἕκαστα αὐτῶν· εἰ δὲ μὴ διὰ τοῦτο, ἀλλ' ὥσπερ οὐδὲν μᾶλλον ὁρώμενα ἐστὶν οὕτω μᾶλλον ἃ ὁρῶμεν ἢ διανοούμεθα. καὶ γὰρ ὥσπερ ἐκεῖ τὸ, πολλοὶ ἂν ταῦτα ἴδοιεν, καὶ ἐνταῦθα πολλοὶ ἂν ταῦτα διανοηθείημεν. τὸ οὖν μᾶλλον δὴ τοιάδ' ἐστὶ ποῖα δὲ τἀληθῆ, ἄδηλον. ὥστε καὶ εἰ ἐστιν, ἡμῖν γ' ἄγνωστα εἶναι τὰ πράγματα. εἰ δὲ γνωστὰ, πῶς ἄν τις φασὶ, δηλώσειεν ἄλλῳ; ὃ γὰρ εἶδε, πῶς ἄν τις φησὶ τοῦτο εἴποι λόγῳ; ἢ πῶς ἂν ἐκείνῳ δῆλον ἀκούσαντι γίγνοιτο μὴ ἰδόντι; ὥσπερ γὰρ οὐδὲ ἡ ὄψις τοὺς φθόγγους γινώσκει, οὕτως οὐδὲ ἡ ἀκοὴ τὰ χρώματα ἀκούει, ἀλλὰ φθόγγους· καὶ λέγει ὁ λέγων, ἀλλ' οὐ χρῶμα, οὐδὲ πρᾶγμα. εἰ οὖν τις μὴ ἐννοεῖ πῶς αὐτοῖ παρ' ἄλλου λόγῳ ἢ σημείῳ τινὶ ἑτέρου πράγματος ἐννοήσειεν, ἀλλ' ἢ ἐὰν μὲν χρῶμα ἰδὼν, ἐὰν  μος ἀρχὴν γὰρ οὐ  λεγε  γὰρ δὲ χρῶμα. ὥστε οὐδὲ διανοεῖσθαι χρῶμά ἐστιν, ἀλλ' ὁρᾶν· οὐδὲ ψόφον, ἀλλ' ἀκούειν. εἰ δὲ καὶ ἐνδέχεται, γινώσκει τε καὶ ἀναγινώσκει λέγων. ἀλλὰ πῶς ὁ ἀκούων τὸ αὐτὸ ἐννοήσει; οὐ γὰρ οἷόν τε τὸ αὐτὸ ἅμα ἐν πλείοσι καὶ χωρὶς οὖσιν εἶναι. δύο γὰρ ἂν εἴη τὸ ἕν. εἰ δὲ καὶ εἴη, φησὶν, ἐν πλείοσι καὶ ταὐτὸ, οὐδὲν κωλύει μὴ ὅμοιον φαίνεσθαι αὐτοῖς, μὴ πάντῃ ὁμοίοις ἐκείνοις οὖσιν καὶ ἐν τῷ αὐτῷ, εἴ τι ἐν τοιούτῳ εἴη, ἀλλ' οὐ δύο εἶεν. φαίνεται δὲ οὐδ' αὐτὸς αὐτῷ ὅμοια αἰσθανόμενος ἐν τῷ αὐτῷ χρόνῳ, ἀλλ' ἕτερα τῇ ἀκοῇ καὶ τῇ ὄψει, καὶ νῦν τε καὶ πάλαι διαφόρως. ὥστε σχολῇ ἄλλο παντὸς ταὐτὸ αἴσθοιτό τις. οὕτως οὐκ ἔστιν, ἂν ἐστι γνωστὸν, οὐδεὶς ἂν αὐτὸ ἑτέρῳ δηλώσειεν, διά τε τὸ μὴ εἶναι τὰ πράγματα λεκτὰ, καὶ ὅτι οὐδεὶς ἕτερον ἑτέρῳ ταὐτὸ ἐννοεῖ. ἅπαντες δὲ καὶ οὗτοι ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι. ὥστε ἐν τῇ περὶ ἐκείνων σκέψει καὶ ταῦτα ἐξεταστέον.